Ακαδημία Αθηνών / Academy of Athens

**κόρη** (τύπ. *κούρη*) **1.** Κόρη, maiden/girl, Παρμενίδης 1.5-9-15-21 *κ ο ῦ ρ α ι δ' ὁδὸν ἡγεμόνευον... Ἡλιάδες κ ο ῦ ρ α ι, προλιποῦσαι δώματα Νυκτὸς ... τὴν δὴ* (sc. *Δίκην*) *παρφάμεναι κ ο ῦ ρ α ι μαλακοῖσι λόγοισιν πεῖσαν ... τῇ ῥα δι' αὐτέων ἰθὺς ἔχον κ ο ῦ ρ α ι κατ' ἀμαξιτὸν ἅρμα καὶ ἵππους* 17 *δεξιτεροῖσιν μὲν κούρους, λαιοῖσι δὲ κ ο ύ ρ α ς* Ἐμπεδοκλῆς 117.1 *ἤδη γάρ ποτ' ἐγὼ γενόμην κοῦρός τε κ ό ρ η τε θάμνος τ' οἰωνός τε καὶ ἔξαλος ἔλλοπος ἰχθύς* **2.** Ἡ κόρη τοῦ ματιοῦ, pupil of the eye, Ἐμπεδοκλῆς 84.8 *ὣς δὲ τότ' ἐν μήνιγξιν ἐεργμένον ὠγύγιον πῦρ λεπτῇσιν ⟨τ'⟩ ὀθόνῃσι λοχάζετο κύκλοπα κ ο ύ ρ η ν, ⟨αἳ⟩ χοάνῃσι δίαντα τετρήατο θεσπεσίῃσιν.*

**κόρος** (ἀντίθ. *λιμός, χρησμοσύνη, ἔνδεια*). Κόρος/χορτασμός, satiety, Ἡράκλειτος 65 *χρησμοσύνην καὶ κ ό ρ ο ν* 67 *ὁ θεὸς ἡμέρη εὐφρόνη, χειμὼν θέρος, πόλεμος εἰρήνη, κ ό ρ ο ς λιμὸς* 111 *νοῦσος ὑγιείην ἐποίησεν ἡδὺ καὶ ἀγαθόν, λιμὸς κ ό ρ ο ν, κάματος ἀνάπαυσιν* Δημόκριτος 219 *χρημάτων ὄρεξις, ἢν μὴ ὁρίζηται κ ό ρ ῳ, πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη· μέζονες γὰρ ὀρέξεις μέζονας ἐνδείας ποιεῦσιν* 283 *πενίη πλοῦτος ὀνόματα ἐνδείης καὶ κ ό ρ ο υ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**κόρση.** Κεφάλι, head, Ἐμπεδοκλῆς 57.1 *ᾗ πολλαὶ μὲν κ ό ρ σ α ι ἀναύχενες ἐβλάστησαν, γυμνοὶ δ' ἐπλάζοντο βραχίονες εὔνιδες ὤμων.*

**κορυφή.** Κορυφαῖο σημεῖο/κύριο θέμα, highest point, Ἐμπεδοκλῆς 24.1 *κ ο ρ υ φ ὰ ς ἑτέρας ἑτέρῃσι προσάπτων μύθων μὴ τελέειν ἀτραπὸν μίαν.*

**κοσμεῖσθαι 1.** Συγκροτοῦμαι, be assembled, Φιλόλαος 6.9 *ἐπεὶ δὲ ταὶ ἀρχαὶ ὑπᾶρχον οὐχ ὁμοῖαι οὐδ' ὁμόφυλοι ἔσσαι, ἤδη ἀδύνατον ἧς κα αὐταῖς κ ο σ μ η θ ῆ ν α ι, εἰ μὴ ἁρμονία ἐπεγένετο ᾡτινιῶν ἅδε τρόπῳ ἐγένετο* **2.** Διευθετοῦμαι, be arranged, Δημόκριτος 266.5 *δεῖ δέ κως οὕτω καὶ ταῦτα κ ο σ μ η θ ῆ ν α ι, ὅκως ὁ μηδὲν ἀδικέων, ἢν καὶ πάνυ ἐτάζῃ τοὺς ἀδικέοντας, μὴ ὑπ' ἐκείνους γενήσεται, ἀλλά τις ἢ θεσμὸς ἤ τι ἄλλο ἀμυνεῖ τῷ τὰ δίκαια ποιεῦντι.* Πρβλ. *κόσμος, διάκοσμος, διακόσμησις, διακοσμεῖν, διατιθέναι, κυβερνᾶν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ